Δυωκαίδεκα δὲ διὰ τοῦ ΚΒ. Ἓξ δὲ, διὰ τοῦ ΚΓ. Ἓξ δὲ, διὰ τοῦ ΚΔ. Μία δὲ, διὰ τοῦ ΚΕ. Καὶ ἔτι μία, διὰ τοῦ Κϛ. Αἱ πᾶσαι τέτταρες ἐπὶ ταῖς πεντήκοντα. Ἄρα κτ.

Σχόλιον.

§. χξέ. Δοκίμων τε ἄρα, καὶ ὀρθῶς συνάγειν δυναμένων Συλλογισμῶν Συζυγίαι, εἰσὶν αἱ ἑξῆς. ΑΑΑ. ΑΑΙ. ΑΕΕ. ΑΙΙ. ΑΟΟ. ΕΑΕ. ΕΑΟ. ΕΙΟ. ΙΑΙ. ΟΑΟ. Οἱ γὰρ κατ᾽ αὐτὰς Συλλογισμοὶ, οὔτε ἐκ δυεῖν ἀποφατικῶν συνίστανται προκειμένων· οὔτε μὴν ἐξ ἀμφοῖν ἐπὶ μέρους. Καὶ τῇ χείρονι δὲ τῶν ἐν αὐτοῖς ἡγουμένων ἕπεται τὸ συναγόμενον. Καὶ οὐδ᾽ ἀπόφασιν ἐκ καταφάσεως ἐπιφέρειν ἐπείγονται· οὐδέτῳ ἄλλῳ ἐνέχονται τῶν ὅσα τὴν τοῦ Συλλογισμοῦ διαστρέφειν οἶδε καὶ διαλυμαίνεσθαι φύσιν. Πλὴν εἰ μήτις καὶ τούτων τὰς δύο ὑπεξέλοιτο ΑΑΙ καὶ ΕΑΟ. ὡς ἄρα καὶ ταύτας, κατὰ τὴν ἐσχάτην τῶν ἀποδοκιμασθεισῶν ΑΕΟ (§. χξά. χξβ΄.) ἀσυστάτους μὲν οὐδαμῶς, ἀσυντελεῖς δὲ καὶ περιττὰς οὔσας· τοῦ Συλλογισμοῦ, ἔνθα τὸ καθόλου πάρεστι, μάτην τὸ ἐν μέρει συνάγοντος.

## Περὶ τῶν ἰδίᾳ ἑνὶ ἑκάστῳ Συλλογιστικῷ Σχήματι προσανηκόντων Θεωρήματα.

### ΟΡΟΙ.

§. χξϛ΄.

Συλλογισμὸς Κατάλληλος ἐστὶν, ἐν ᾧ, κατηγορεῖται μὲν τοῦ ἐλάσσονος τὸ μεῖζον ἄκρον (ἢ γοῦν τὸ ἴσον καὶ ἀντίστροφον.) ἐν τῷ Συμπεράσματι, συνεπιπλέκεται δὲ τὸ μὲν μεῖζον τῷ Μέσῳ ἐπὶ τῆς μείζονος τῶν προκειμένων, τὸ δ᾽ ἔλαττον τῷ αὐτῷ Μέσῳ, ἐπὶ τῆς ἐλάσσονος. (§. φξ΄.).

§. χξζ΄. Ἀκατάλληλος δὲ, ὁ τὴν ῥηθεῖσαν τῶν ὅρων τάξιν ἀθετῶν, καὶ τὸ μὲν μεῖζον τῶν ἄκρων φέρων ἐπὶ τῆς ἐλάσσονος, τὸ δ᾽ ἔλαττον ἐπὶ τῆς μείζονος.

Θεώρημα Α.

§. χξή. „Παντὸς Συλλογισμοῦ καταλλήλως ἐν Σχήματι „πρώτῳ διαμορφουμένου, τὴν ἐλάσσονα δεῖν εἶναι ἀεὶ καταφάσκουσαν.

Δεῖξις.



Δεῖξις.

Ἐν γὰρ τῷ τοιούτῳ Συλλογισμῷ (§. χϛ΄. χξϛ΄.) κατηγορεῖται τὸ μεῖζον ἄκρον ἐπὶ τῆς μείζονος τοῦ Μέσου ὑποκειμένου. Ἐὰν οὖν ἡ ἐλάσσων ἀποφάσκῃ, καταφασκούσης ἐξ ἀνάγκης ἐκείνης (§ χμβ΄.), μερικεύοιτ᾽ ἂν τὸ μεῖζον τῶν ἄκρων ἐν αὐτῇ (§. χιγ΄. χιέ.). Συναποφάσκοντος δὲ τῇ Ἐλάσσονι καὶ τοῦ συμπεράσματος (§. χμγ΄.), καθολικεύοιτ᾽ ἂν τὸ ἐπ᾽ αὐτῷ μεῖζον ἄκρον (§. χιδ΄. χιϛ΄.)· ταύτῃ δέτοι ὁ μὴ καθόλου ἐν ταῖς προκειμέναις ταχθεὶς, καθόλου ἂν κέοιτο ἐπὶ τοῦ συμπεράσματος ὅρος. Ὅπερ (§. χμ΄.) ἄτοπον. Ἄρα κτ.

Πόρισμα.

§. χξθ΄. Τῶν ἄρα εἰς ὀρθὴν συναγωγὴν ὑπολελειμμένων δέκα (§. χξέ.) Συζυγιῶν, δύο τοῦ πρώτου Σχήματος ἀποκρουστέον, τήν τε ΑΕΕ, καὶ τὴν ΑΟΟ. ὡς τὴν ἐλάσσονα ἀποφατικὴν προϊσχομένας.

| | |
|---|---|
| Α Πᾶς ἄνθρωπος οὐσία. | Α Πᾶς ἄνθρωπος οὐσία. |
| Ε Οὐδεὶς λίθος ἄνθρωπος. | Ο Οὐ πᾶν ζῶον ἄνθρωπος. |
| Ε Οὐδεὶς λίθος οὐσία. | Ο Οὐ πᾶν ζῶον οὐσία. |

Σχόλιον.

§. χό. Ἐπικριτέον δ᾽ εἴπου τύχοι τὴν ἀορισταίνουσαν ἐλάσσονα, τὰ τῆς ἀποφάσεως ὑποκρινομένην. οἷον ἐπὶ τοῦ ἑξῆς·

Πᾶν τὸ μὴ καθῆκον ψεκτόν.
Τὸ δ᾽ ἐν πολέμῳ λειποτακτεῖν οὐ καθῆκον.
Ψεκτὸν ἄρα.

Ἡ γὰρ Ἐλάσσων ἐνταῦθα σχήματι μόνον ἀποφάσκουσα, τῷ ὄντι ἀόριστος οὖσα ἐστί. Δῆλον δὲ ἐκ τοῦ Μέσου, ὅπερ ἦν τὸ μὴ καθῆκον. τοῦτο γὰρ αὐτὸ ἀορίστως ἔδει κατηγορηθῆναι ἐν τῇ ἐλάσσονι, ᾗπερ ὑποκείμενον ἦν κἀν τῇ μείζονι.

Θεώρημα Β΄.

§. χοά. „Παντὸς Συλλογισμοῦ Καταλλήλου ἐν Α. Σχήματι ἡ μείζων καθόλου.

Δεῖξις.

Εἰ μὴ γὰρ, μερικὴ δ᾽ εἴη, τὸ ἐν αὐτῇ Μέσον, ἅτε ὑποκείμενον (§. χϛ΄.), κέοιτ᾽ ἂν ἐπὶ μέρους (§. χιέ. χιϛ΄.). Ἐπὶ μέρους δ᾽ ἂν ἔχοι κἀπὶ τῆς ἐλάσσονος τὸ αὐτὸ καταφασκούσης (§. χξή)